FEDERICI IAMOTII MEDICI BETHVNIENSIS VARIA POEMATA

Græca & Latina.

HYMNI.	ODÆ.
IDYLLIA.	EPIGRAMMATA.
FVNERA.	ANAGRAMMATA.

ANTVERPIÆ,
EX OFFICINA PLANTINIANA,
Apud Viduam, & Ioannem Moretum.
M. D. XCIII.

ΠΡΟΣ ΤΟΝ ΕΚΛΑΜΠΡΟΤΑΤΟΝ ΚΩΜΑΡΧΗΝ ΚΑΡΟΛΟΝ ΤΟΝ ΑΙΧΜΩΝΔΑΝΟΝ

ΦΕΔΕΡΙΚΟΥ ΙΑΜΩΤΙΟΥ ΙΑΤΡΟΥ ΒΗΘΟΥΝΑΙΟΥ ΑΝΑΓΡΑΜΜΑ

ΑΙΧΜΩΝΔΑ

ΑΙΧΜΑΝΔΩ

ΚΑΡΟΛΟΣ Ο ΑΙΧΜΩΝΔΑΝΟΣ

ΜΩΣΑΝ ΟΙΚΟΣ ΧΑΡΑ ΔΟΛΟΝ.

ΑΙΧΜΑΝΔΩ κλυτὸν ΑΙΧΜΩΝΔΑ
πέλει, αἴκ' ἀναγράψῃς,
Μάτηρ αἰχματᾶν ἔγκυος αἰξμόων·
Κύδιμον ἅτ' αὔθησεν ἀνίκατον κλέος
αἰχμᾶς,
Δάιον ἐκ πάτρης ὕβριν ἐλαυνομένα;
Μάρτυς ὁ πατροπάτωρ· μάρτυς προφερέστατος ἀνδρῶν
Χὠ γαμβρέτας, Φλανδρῶν ὄμμα ποθεινότατον·
Νίκας ὃς πτερύγεσσι πάλαι ταχιναῖσιν ἀερθεὶς,
Εὐχλοερῷ δάφνᾳ δὶς στεφάνωσε κόμαν.
Μάρτυς Ἰβηριακᾶς πρόμος ἀγητήρ τε φάλαγγος,
Ἅρπαγα Δρυΐδαις, σύγγονος ἱπποσόας·
Ὅς τ' ἀφόβῳ κεφαλᾷ μεσάταν ἀνὰ δῆριν ὀρούσας,
Ἄορι καὶ γυμνῷ πλοῦτος ὀρνύμενος.
Ἂν νέκυας θ' ἑτάροισι γεφυρώσας ἅμα νόστον,
Καὶ πέδον αἱμάξας δυσπαλέοισι φοναῖς,
Κάππεσεν. ὡς δόλιος κῦδος Ἄρεος Ἀμφηρίστου;
Φείδετο ταρβαλέων, δηίοις ἔτι θαρσαλέων.

Ἀλλὰ

AD ILLVSTRISS. COMITEM CAROLVM ÆCHMVNDANVM, FEDERICI IAMOTII MEDICI BETHVNIENSIS ANAGRAMMA

ÆCHMONDA
HASTARVM DOMVS
CAROLVS ÆCHMVNDANVS,
MVSARVM DOMVS ATQVE OMNINO VOLVPTAS.

HASTARVM domus Æchmonda eſt, ſi nomen in omen
Verteris, haſtatis fœta parens Ducibus.
Scilicet inuictæ cui gloria floruit haſtæ,
Hoſtica dum patriis ſubmouet arma focis.
Teſtis auus: teſtis (quo non præſtantior alter)
Ipſe Parens, Flandri carus ocellus agri:
Præpete qui palmæ ſublatus ad æthera penna,
Bis viridi Lauru tempora cinxit ouans.
Teſtis & Hiſpanæ princeps ductorque Phalangis,
Nuper apud Druidas Frater equûm domitor:
Qui capite intrepido medium dum fertur in agmen
Strenuus, & ſtricto quolibet enſe ruit:
Dum ſociis reducem per denſa cadauera pontem
Sternit, & hoſtili ſtrage cruentat humum,
Occubat. Heu, creperi ſic fallax alea Martis
Temperat ignauis; pignerat impauidos.

Ἀλλὰ καὶ ὡς γλυκὸς ὑμὸν ἀείδεις, φαίδιμον αἰχμᾷ,
  Τέχνας καὶ τέχναν ἀμφέπεν ἐμπεράμως.
Μάρτυς ἐγὼ πολέεσσι, πολέες μοι μάρτυες ἄνδρες,
  Οἷά τε μουσοπόλοις, ὅσσα τε δῶκε γέρα.
Καὶ σὺ δὲ πατρῴοισιν ἐν ἴχνεσι τὸν πόδα νείμας
  Κάρολε, θαρσέντων ἔκγονος ἀρχεδικᾶν,
Στυγνὸν ἐποτρύνεις μοισέων χορὸν, ἅ κε δυναῖο,
  Ἀφθονίαν δώρων ταῖσι χαριζόμενος.
Κασαλίδων ἅτε ἐσμὸς ἐς ὕστερον αἰὲν ἀείσει,
  Ἀϊδίου λάθας μή τι νέφος κατέχῃ.
Πολλά κεν ἀπύοι σε, χορῷ Φοίβοιο μεμαλὼς
  Μόσχος, ἐριβρεμέταν ὕμνον εὐκλαδέων·
Πλάκτρῳ τ' ἠχήεντι κλυτὰν φόρμιγγα διώκων,
  Καὶ τεὸν ἀντείνοι κῦδος ἀειρόμενος.
Σμικρὸς ἐγὼν ἰχνὰν ἀνάγων φρενὸς ἔκτοθε μολπὰν,
  Σὰν χάριν αὐδάσω λεπταλέοις ἔπεσιν.
Οἷά τε δαιδαλθέντα φέρω διδύμαισιν ὁμοκλαῖς,
  Τίν τ' ἐνέπω Μωσᾶν ἱερὰ γραφέντα πατρί.
Εἰ δ' ἐναριθμήσαιο φίλοις ὁμάδοισιν ἀοιδὰν,
  Τάξιος ἐσχατιὰν καὶ σφίσι κεινάμενος:
ΜΩΣΑΝ ΟΙΚΟΣ ἔοι κε ΧΑΡΑ Δ' ΟΛΟΝ ἁ σέθεν αὐλά,
  Ὡς εὐναιομένα Πιερίδων ἀρόταις.

Nec minùs, hæc cùm ſit veſtræ laus bellica gentis,
Illa bonas artes fouit, & artifices.
Mille mihi teſtes, teſtiſque ego millibus vnus,
Quę dederit doctis quantaque dona viris.
Tuque adeò inſiſtens veſtigia clara tuorum
Carole, magnanimis edite principibus,
Reſpicis & triſtes hac tempeſtate Camœnas,
Et variis auges, quà pote, muneribus.
Caſtalidum quæ turba canet: ne obliteret ætas
Ventura, & cæca nube perennè premat.
Sæpius altiſono te carmine compellabit
Moſchus, Apollinei maxima cura gregis:
Ille tuas laudes plectro maiore poëta
Concinet, ille tuum tollet ad aſtra decus;
Paruus ego exiles expromam pectore cantus;
Et tua deducta carmina voce canam.
Qualia dono tibi duplici variata ſonore,
Et quaſi Muſarum dico, dicoque Patri.
Tu modò ſi dulci Muſæo reddita cœtu,
Claſſis in extremæ parte locanda putes.
Muſarum domus, & Muſarum ſola voluptas,
Hæc tua dicetur vatibus aula frequens.

AD D. FEDERICVM IAMOTIVM MEDICVM, ET POETAM VTRAQVE LINGVA PRÆSTANTISSIMVM.

DIDITA *per varias, Federice, poëmata genteis,*
Et iam doctorum trita diu manibus,
Singula quæ cari adseruant donata sodales,
Ceu quoddam alternæ pignus amicitiæ,
Adsere cuncta simul, collectaque corpus in vnum,
Publica iure tuo vindicis esse iube.
Munere priuatos aucto reparabis amicos,
Gratiaque à doctis omnibus ampla manet.
Hæc saltem grauioris erunt præludia Musæ,
Dircæo Solymus dum cygnus ore tonet.
Nec leuia hæc spernet CARLI *fauor* HAECMVNDANI
Ni leue, quod sacrum spirat, habere nefas.

AND. HOI. Brug.

FEDERICI IAMOTII MEDICI BETHVNIENSIS HYMNI:

AD ILLVSTRISSIMVM COMITEM CAROLVM ÆCHMONDANVM, AERIENSIS ECCLESIÆ ANTISTITEM.

HÆc ego Ießiada, Graio mihi condita versu,
Sacra tibi sacro, qui sacra ritè colis.
Tu placido vultu confectum carmine munus
Excipe, tu grata, CAROLE, sume manu.
Sic tua longinquum celebretur fama per orbem,
Sic tuus inuita morte perennet honos.

ΨΑΛΜΟΥ ΠΡΩΤΟΥ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ὃς ποτε δυσσεβέων οὐκ ἄφρονα δύσατο βουλὴν,
Οὐ σφαλερὴν ἐπάτησεν ἀταρπὸν; ἠδὲ θοώκοις
Οὐ λοιμοῖς ἐκάθισε θεοστυγέων ἀνθρώπων,
Οὐδὲ ποτ' ἀγροιώτῃσιν ἐφωμίλησεν ἀλήταις,
Ἀλλὰ θεόσδοτον αἰὲν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
Θεσμοσύνην ἐφύλαξεν, ἕως τ' ἐνικάτθετο θυμῷ
Βουλῆς εὐαγέεσσι, μάκαρ μάκαρ οὗτος ἀνήρ.
Οἷον δ' εὐύδροισι παρ' ἠϊόνεσσι ῥεέθρων
Δένδρεα τηλεθάοντα φέρει πολυανθέας ὄζους
Φύλλοις ἀχλοεροῖσι βεβριθότας, ἠδὲ καὶ ἡδὺν
Καρπὸν ἀναλδαίνει, πετάλων χαίειν οὐδέπ ῥίπτει.
Τοῖον ἄρ' εὐσεβέων γένος ἔσσεται, ὅσσα δὲ ῥέξει,
Αἰεί τ' ἀνθάλλοντα καὶ ὄλβια πάντα τελέσσει.
Οὐχ οὕτω μερόπων ἀσεβὲς θάλος, ἄμμορον ἔργων
Θεσπεσίων, ἀθέμιστον, ἀτασθαλίην ἀγαπάζον·
Αὐτὰρ ἀελλήεντι κονισσάλῳ ἐστὶν ὁμοῖον,
Τὸν λαῖλαψ ἐκέδασσε βαρυπνείοντος ἀήτεω.
Εὖτε μὲν οὖν κύδιστος ἄναξ, πάντεσσιν ἀνάσσων,
Ἵξεται ὑψικέλευθος, ἀγάννιφον αἰθέρα λείπων,
Ὄφρα πολυπλαγχθέντας ἁμαρτάδος ἄνδρας ἐλέγχῃ,
Οὐδὲ τότ' ἰθυδίκαισι μεμίξεται ἑσμὸς ἀλιτρῶν,
Οὐδὲ ἑ δυσσεβέων ἐταρίσσεται ἄφρονι βουλῇ.
Βουλὴν γὰρ δεδάηκεν ἀμεμφέα κοίρανος ἐσθλῶν,
Καὶ τούτων δεδάηκεν ἀταρπόν. οἷσι δὲ μοῦνον
Σχέτλιά τ' ἔργα μέμηλε καὶ ἀσεβίη κακοεργός,
Τοῖσι κακῶς ἀπόλοιτο κακὴ καὶ ἀτάσθαλος ὁρμή.

ΨΑΛ-

PSALMI PRIMI PARAPHRASIS,

Andrea Hoio Brugensi Interprete.

QVI *neque sacrilegûm insanis se cœtibus infert,*
Nec fallax insistit iter, nec sede residit
Pestifera, osorum numen cæleste, virorum:
Nec se peccantûm permiscet congrege volgo:
Sed latas auctore Deo noctu vsque diuq;
Leges seruat, easq; sua sub mente reponit,
Propositi pius; hic felix ter & amplius audit.
Qualis ad irriguas vndanti flumine ripas
Luxuriosa arbos fert, florida brachia, ramos
Fronde grauiscenteis viridi, quæ mitia frugum
Munera progignit, foliis nec deicit honorem:
Tale erit & diuûm reuerens genus. omnia cœpta
Et semper peraget rediuiua, & prospera semper.
Non ita stirps scelerata hominum: cælestium inanes
Factorum, exleges, atq; improbitatis amici:
Pulueris instar erunt, rapti illudente procella,
Quem vortex grauiter spirantis disiicit auræ.
Ergo vbi Rex splendore cluens, atq; omnia torquens
Numine, serò redux veniet, linquetq; niuosum
Æthera, vti sceleris homines, tot casibus actos,
Arguat; haud mista stabit turba impia rectis,
Nec stabit sanctorum hilari sociata chorea.
Sensa Deus nouit iustorum, expertia fraudis:
Nouit iter rectum eorundem. quibus improba tantùm
Curæ sunt opera, impietasq; magistra malorum,
His simul, & vis, & malè iniqua lubido peribit.

ΨΑΛΜΟΥ ΕΚΤΟΥ
ΠΑΡΑΦΡΑΣΙΣ.

Παμμέδων ὑψίθρονε λίσσομαί σε,
Μή μ' ἀτύσδη σοῦ βαρύθυμος ὀργὰ,
Μή με σοῦ δριμεῖα χολὰ δαμάσδη
Τλάμονα θυμόν.
Αλλ' ἐμὶν μάλ' ἀδρανέοντι φρέφρων
Ιλαθ' ὦ ποιμὴν. τὸ, τε γὰρ δεδύκει
Σῶμα δειλαῖον, χαλεπάτε νόσος
Τ' ὀςέα τάκει,
Καὶ κατασμύχει κραδίαν. τὺ δ' ὦ ναξ
Αχρι τοῦ λειψεῖς ἀνίαις δαμεῖσαν;
Ενθέ μοι, καὶ νῦν κρυερῶν ἀφ' ἄδα
Ρίπτε πυλάων.
Αἴ γαρ εἰς ἄδαν λελαθόντα βαίνω,
Πῶς κεν ἀμνάμων ποταείσομαί τοι;
Πῶ; τὺ τὰν νυκτὸς διαδὺς ὀμίχλαν
Τῶνομα μελψῶ;
Στέρνα πάννυχος βαρυεῦντα κόπτω,
Κἀδδ' ὕδωρ θερμὸν χέεται βραχεῖτων
Ομμάτων μου. δακρυόεντι δ' ὄμβρῳ
Νήχεται εὐνά.
Οὔτε δ' ἀμβλώπτοντί μοι ἐκ μεριμνῶν,
Καὶ γέλως ἐχθρῶν ἀλλάταξεν ἶνας,
Σάρκατ' ἀκμαίαν, καὶ ἐς ὀςέον με
Αχεα ἴαψεν.
Ω ἴτε ἐντεῦθεν κακόχαρτος ἴλα.
Τὰς ἐμᾶς αὐδᾶς θεὸς εἰσάκουσεν,

Εισά-

PSALMI SEXTI PARAPHRASIS,

Eodem Interprete.

Omnium Rex, alti throne, obsecro te,
Ne stupefactum grauis ira turbet:
Neu mihi confecta domes acerbo
Corda furore.
Sis mihi lubens vehementer agro,
Sis bonus, pastor : penetrat misellum
Vis mali in pectus, tenuataq; ossa
Tabe liquescunt.
Morbus exurit mihi cor. Sed ô Rex
Usque quò curis domitum relinques?
Jam veni, me nunc gelidis ab orci
Eripe portis.
Namq; lethæum subiturus orcum,
Immemor, quî te memorem canendo?
Quî tuum nomen celebrem, tenebris
Noctis opertus?
Anxium pernox mihi tundo pectus:
Et tepens ros è madidis ocellis
Defluit: largoq; cubile fletus
Pernatat imbre.
Luminum curis hebetantur orbes:
Hostium risus soluit vigorem
Carnis, atq; artus: & ad ima me usque
Perculit ossa.
Hinc, malis adsueta, cohors facesse:
Iam meas hausit Deus aure voces:

Εἰσάκουσεν ἀθλίαις στοναγμῶν,
Εὔγμασι νέων.
Ὄφρα δυσμενέες ἕλοι ἄλγος, ὅσοι
Τὰν ἐμὰν ψυχὰν μεμάασ' ὀλέσσαι.
Αἶψα δ' ἐξίκοιντο φυγόντες αἰδοῖ
Τηλόθεν ἁμῶν.

ΨΑΛΜΟΥ ΔΥΟΚΑΙΔΕΚΑΤΟΥ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἐνθὲ μάκαρ μάκαρ ἐνθὲ, καὶ ὡς τάχος ἄμμιν ὀπήδει.
Πιστὸς ἐπεὶ θνατῶν λειψανθία δάπεδον
Ὤχετο, χ' ἁ χείρων μεροπηΐδος ἄψαρ βωλὰ
Τᾶς φρενός. ἀλλάλοις λυγρὰ νοεῦντι βροτοὶ,
Αἱμύλα κωτίλλοντες ἐῶν ἀπατάνορι μύθῳ.
Ὀλλύσθω γλωσσᾶν σμᾶνος ἀμετροεπές.
Χ' ἁ θεῦς ἰόβολον καὶ ἀγκυλόεργα λαιμὸν ἀμάτω,
Ὅσσοι τ' ἀλλάλοις· ὧδε λέγοντι κακοὶ,
Δεῦτε κ' ἐθισδώμεσθα δολοπλόκον ὅρκον ὀμόσσαι.
Μύστακας; ἁμείων τίς γὰρ ἔχει πιέζαι;
Αὐτὰρ ὁ παμμεδέων κεχολωμένος ἄφρονι βωλᾷ
Ἔστα, καὶ φωνὰν ἔκλυε τειρομένων,
Κῆρί τε, ῥυσεῦμαι τὸν ἀμύμονα δᾶμον ἀμέμπτων,
Καὶ τήνως ὀλοὰν ἐξελάσω παλαμᾶν.
Ὣς φάμενος καλλίδισε. τὸ δ' ἐντελὲς οὐκ ἐπιδεύσῃ
Ὦναξ, καὶ χρυσῶ πολὺ φαεινότερον,
Χρυσῶ παμφαίνοντος, ὃν ἑπτάκις ἐψαυθέα φλὸξ
Τάκει, μέσφ' ἁ τρὺξ ἐς ἄποδον ἐτράπετο.

Οὐκῶν

Hausit æternus Deus aure fletus,
Vota secundans.
Hostium vt repens rubor ora tingat,
Qui meæ neces animæ pararant:
Hinc procul nobis pudefacta vertant
Terga fugaces.

PSALMI XII. PARAPHRASIS.

Eodem Interprete.

SANCTE *veni, mox sancte veni, comes addere nobis:*
Se deserta hominum iam statione fides
Proripuit: sensusq; rapit mortalia corda
Degener: & spirant mutuum in exitium,
Mendaci inter se blandùm licet ore susurrent.
Linguarum examen futile dispereat.
Grandiloquas Deus & virosas demete fauces,
Qui nequam inter se talia dicta ferunt:
Plexa dolis, age, suescamus periuria fari.
Quis labiis nostris ponere frena pote?
Amentum iratus conatibus omnipotens Rex,
Stans, & dura-ferentum aure trahens gemitus
Restituam populum, culpaq; & fraude carentem
Illum, ait, impuris eripiam è manibus.
Annuit hæc fatus. quod Rex cunq; annuerit, fas
Confieri, atq; auri lumine splendidius,
Auri luciuomi, quod septima flamma recoctum
Colliquat, in cineres dum improba fax abeat.

Ουκ ὢν ἀμείων, πανεπίσκοπε, δώτορ ἐάων,
  Κάδδυ, κ᾽ ἢξ ἀδίκων κλᾶρον ἅπαντα σάω.
Δὴ γὰρ μυρία λυγρὰ, κατ᾽ ἀνθρώπους ἀλάληται,
  Πάντα τ᾽ ἀναιδείας ἔμπλεα, καὶ κακίας.
Ως ἄνομοι σκολιᾶσι δίκαις κρίνοντι θέμιστας,
  Δείδιε δ᾽ ἀχρείων χειρὸς ἐφαμοσυνάν.

ΨΑΛΜΟΥ ΠΕΝΤΕΚΑΙΔΕΚΑΤΟΥ

ΠΑΡΑΦΡΑΣΙΣ.

Τίς ἐστιν, ὦ θεός μου,
Σκηνὴν ὃ σὴν κατοικεῖν,
Ορος κλυτόν τε ναίων;
Ανὴρ βίον δίκαιος,
Ανὴρ φρένας τ᾽ ἄχραντος:
Τ᾽ ἀληθὲς ὃς διώκει,
Τὸ ψευδὲς ὃς μεγαίρει:
Ος μήδεται μὲν αἶσχος
Οὐδεν φίλοις ἑταίροις:
Ος μήδεται δ᾽ ὄνειδος
Ουδὲν φίλοις θυραίοις.
Μισεῖ δ᾽ ἀλιτρὸν ἄνδρα,
Δολορράφῃ θ᾽ ὅμιλον.
Καὶ τὸν Θεὸν γεραίρει,
Θεοῦ φίλους γεραίρων,
Φεύγων ἄπιστον ὅρκον,
Τόκου τε κέρδος αἰσχρόν.
Βλάπτει δ᾽ ἀθῷον οὐδεν

Δῶρεις

Respice nos, bona qui dedis quiq́; omnia seruas:
Sortem omnem ex iniusta assere peste hominum.
Nam facies scelerum grassantur mille per orbem:
Omnia plena probris, omnia plena malis.
Judicia obliquo sic iure exercet iniquus,
Et scelerata bonus pallet ad imperia.

PSALMI XV. PARAPHRASIS.

Eodem Interprete.

QVIS *est? quis, ô Deus mi,*
Tuam colit tabernam?
Montemq́; habet celebrem?
Vita vir æquus omni,
Vir mente purus omni:
Qui vera semper vrget,
Qui falsa semper horret:
Nullúmque machinatur
Caro probrum sodali:
Nec proximi minatur
Famæ notas amici.
Odit virum scelestum
Catúmque fraudulentum.
Deumq́; honorat, eius
Mactans honore amicos.
Periurium refugit,
Lucróque turpe fœnus:
Nec lædit innocentem

Judex

Δώροις δίκην δικάζων.
Ὅστις τάδ' ἐκτελέσσει,
Οὐκ ἄν ποτ' ἀστατήσοι.

ΨΑΛΜΟΥ ΕΚΑΤΟΣΤΟΥ ΤΕΤΑΡΤΟΥ.

ΠΑΡΑΦΡΑΣΙΣ.

Σοῦ μάκαρ ἀείδω σοφίης ἐριφεγγέα δόξαν.
Πόσσον ἐπ' ἀνθρώποισι πόθεν κλέος, ὦ ἄνα, σεῖο;
Ἦρα νύ τοι σὲ πέριξ χρυσόπτερος ἔστεφε πυὴ,
Καὶ φάος ἀμφεχύθης πολυδαίδαλον ἠΰτε πέπλον.
Σοὶ μὲν ἀπηώρητο κατήρεφος ἀντὶ καλύπτρης
Ἐκτάδιοι κλισίαι πολυδειράδος οὐλύμποιο,
Καὶ καμάρῃ πεπύκαστο κατωγυάλῳ χυτὸν ὕδωρ.
Σοὶ δὲ καὶ ἐμβεβαῶτι θοῶν πτερύγεσιν ἀήτεων
Πυρσοὶ δμῶες ἕποντο ὁμοῦ καὶ δμωΐδες αὖραι,
Ὄφρα τεῆς ὀτρύνῃσιν ἐφημοσύνῃσι πίθωνται.
Γαῖα δ' ἀκινήτοισιν ἐπεμβεβαυῖα θεμέθλοις
Ἀκλινὲς ἀθανάτοισιν ἐρήρεισται παλάμῃσι,
Γαῖα πάλαι χαροποῖσι κατακλυσθεῖσα ῥεέθροις,
Οἷά τε φάρεϊ γλαυκῷ ὀρέων ὕπερ ἀμφιταθεῖπ.
Αὐτὰρ ἐπεὶ σέο δεινὸν ἀνεβρόντησεν ἰωὴ,
Αὖρη τ' ἐσμαράγησε βαρυπνείουσα κερχνῷδ',
Ἠρεμέες τ' ἀνέβησαν ὀρειάδες ἀκρώρειαι,
Ἠρεμέες κατέβησαν ἀμορβαῖαί τε χαράδραι,
Καὶ γλαφυροὺς αὐλῶνας ἐδύσατο δειμαλέος ῥοῦς.
Οὐδέ κεν, ὡς τὸ πάροιθεν, ἐϋσαθέεσσι πεσθεὶς
Τέρματι ἐγχειμφθέντα παραΐξειεν ὁρισμὸν,

Ταρ-

Judex adulter auro.
Hæc quisquis exequetur,
Immotus vsque stabit.

PSALMI CIIII. PARAPHRASIS,

Eodem Interprete.

TE Pater alme cano, sophiaq́; illustris honores.
Quanta tibi, Rex, maiestas, tibi quanta per orbem?
Vndiq; te pinna decor auricolore coronat,
Et circum lux artifici quasi fundit amictu:
Hinc suspensa, vicem veli sublimè crepantis,
Porrigis excelsi latè tentoria cæli:
Hinc curua stipas testudine liquida aquarum.
Ac leuibus ventorum insessor dum vehis alis,
Apparent famuliq́; ignes, auræq́; ministræ,
Assidui, præcepta alacres vt sacra facessant.
Immotis tellus insidens molibus, ipso
Pondere sustentata, manu stabilita potenti est.
Cæruleis tellus latè obruta fluctibus olim,
Glauca quasi extentos obducant carbasa monteis.
At simul horrendum intonuit vox grandis, & auræ
Fulminis insonuit grauiter-crepitante tonitru;
Paulatim adsurgunt sublato vertice montes,
Paulatim obscuro subsidunt æquore valles.
Insinuat trepidansq́; reductis lympha lacunis:
Nec, bene firmatis nunc illa coërcita metis,
Ausit præfixos, vt quondam, erumpere fines:

Ταρβήσας μή πού τι τὸ δεύτερον οἴδματος αἶα
Χειμερίῃ νήχοιτο κατακρυφθεῖσα θυέλλῃ.
Ναὶ μὴν καὶ ποταμοὺς δονακώδεας αἱ κατὰ πέτρης
Πίδακες ἐμπλήθουσι, καὶ ἀρδεύουσιν ἀρούρας,
Ἐνθεν ὅπως παύσειεν ἀολλέα πώεα δίψαν,
Ὅσσα νομὸν λάσιον κατεβόσκετο, οἵ τε νάουσιν
Ἠλιβάτοις πέτρῃσι δυσέμβατον ἄλσος ὄναγροι.
Ἔνθα καὶ ἠερόεσσαν ἐπισείοντες ἀταρπὸν
Οἰωνοὶ πτερόεντες ἀνὰ χλοερῇσιν ὀροδάμνοις
Φωνῇ θελξινόῳ σφετέρας κλείουσι καλιὰς,
Καὶ λιγυροῖς θέλγουσι γόοις ἐπιήρατον ὕλην.
Αἰθερίων κύδιστε, σύ τ' οὔρεα μακρὰ κορεῖς
Νέκταρος οὐρανίοιο, καὶ εἰν ἑνὶ καρπὸν ἀέξεις,
Καρπὸν ἐπιχθονίοισι φερέσβιον, αὐτίκα χόρτον
Ἡμιόνοις, λάχανον δὲ καὶ ἀνδράσιν ἀλφηστῇσι,
Σῖτόν τε μένος θάλποντα βροτήιον ὄμπνιον ἀκτὴν,
Σῖτόν τε φρένας θέλγοντα κατηφέας αἴθοπα οἶνον,
Σῖτόν τε θέαν τέρποντα, μελίφρονα καρπὸν ἐλαίης.
Πᾶσι δέ τοι γόνιμον νοτίην ἐμφράξαο δένδροις,
Καὶ λίβανον θυόεντα κατέστεφες οὔρεϊ κέδρον,
Νήδυμον ὀρνίθεσσι διηερίοισι καλιήν.
Θήκαο δ' ἀκροπόλους ἐλάτας δολιχοῖσι πελαργοῖς
Οἰκίσκους, ἀπτῆνας ἵνα θρέψωσι νεοσσοὺς,
Δειμαλέαις κεμάδεσσιν ἀν' οὔρεα ναιετάασθαι
Ἄξυλα, καὶ τρηχέεσσιν ἀτειρέα πέτρον ἐχίνοις.
Νοῦν δὲ καὶ ἄστατον εἶδος ἀειγνήτοιο σελήνης
Καινίζεις κατὰ καιρὸν, ἀπ' ἀντολίης τ' ἐπὶ δυσμὰς
Ἠελίου φαέθοντος ἄγεις τερψίμβροτον αἴγλην.

Καὶ

Et metuat, ne fors iterum refluentibus vndis
Hiberni[s]q; natet tellus obmersa procellis.
Quin calamis prætexta, cadens de rupibus, auget
Flumina fons, plenusq; arentia temperat arua:
Vnde sitim conferta leuent armenta, gregesq;,
Pascua quæ tondent silvis horrentia; quiq;
Abruptis habitant onagri nemora inuia saxis.
Hic etiam aërij transmittunt tramitis auras
Pennigeræ volucres, atq; in viridantibus vmbris
Ramorum, sua flexamina loca voce celebrant,
Et grata argutis permulcent rura querelis.
Maxime cælicolum, latos tu nectare colles
Ætherio saturas: simul auges semina frugum,
Semina terricolis vitalia. & herbea mulis
Pabula alis, vescumq; viris olus ærumnosis:
Farraq; quæ reparent hominum cerealia vireis,
Vinaq; quæ recreent tristes nigrardida menteis,
Quiq; hilaret vultum, melli par, fructus oliuæ.
Omnia vitali stipas plantaria succo.
Et patula libani cedro iuga odora coronas,
Æriuagæ volucrum proli dulcissima tecta.
Abietibus celsis oblonga ciconia nidum
Ponit, vbi inuolucres possit educere fœtus.
Et tibi cum timidis incædua culmina ceruis,
Tum rigidæ hirsutis rupes habitantur echinis.
Nunc stata tu lunæ instabilem per tempora vultum
Vsque gerens, renouas: rutili nunc solis ab ortu
Ducis ad occasum, iubar oblectabile solis.

 Inde

Καὶ πάλιν ἀνθρώποισι χέων μελανόπτερον ὄρφνην,
Ἡσυχίην ἐκέδασσας ἐπὶ χθονὸς ἀνήτειραν.
Τῆμος, ἐὰν λίπησι μεθ' ὃν νομὸν ὠμοφάγος θὴρ,
Λείπει χρέμμα κοῖλα. λέων δὲ ποδήνεμος ὕλης
Ἐχθορέων πεδίοισιν ἐρημαίοισιν ἀλᾶται,
Αἰτίζει τέ σε δεῖπνον ἐπὶ βραγχώδει φωνῇ.
Ἀλλ' ὅτε νύκτερον ἀχλὺν εὔθρονος ἤλασεν ἠώς,
Εἰλυοὺς ἐρέουσι κινώπετα, καὶ ταλαεργῶν
Ἔργα βοῶν νόησε, πολυσπερέων τ' ἀνθρώπων,
Εἰσόκεν ἀντέλλῃσι βαθύσκιος ἕσπερος ἀστήρ.
Τόσσα μὲν ἰθύνεις παντεπίσκοπε πρόφρονι βουλῇ.
Οὐδ' ἄρα γαῖα μόνον τὸ τεὸν δέος, ἀλλὰ καὶ ἅλμη
Ἤδε τὸ χειμερίη, τόθι χίλιοι ἑρπυστῆρες
Ἰχθύες ἀσπαίρουσι, καὶ ὁλκάδας ἀμφὶ μελαίνας
Ὁλκαίαις νήχονται ἀγαλλόμενοι τρομεροῖσιν.
Ἄλλα τε μυρία πολλὰ δυσηχέος ἔνδοθεν ἅλμης
Παίγνια τεκταίνει κητέων γένος ὑγροκελεύθων.
Ὅσσα δὲ γαῖα φέρει φυσίζοος, ὅσσα τε πόντος,
Εἰς σε μάκαρ, λεύσουσι κατὰ χρέος, ἠδὲ καὶ εἶδαρ
Ἄρμενον αἰτίζουσι. σὺ δ' ἄφθιτε χεῖρα πιταίνων
Ἐκπλήθεις ἀφενοῖο. σὺ δ' ἐκπλήθοντα χαλέπτεις
Ὀλβοφόρον σέθεν ὄμμα τεῶν ἄπο πάμπαν ἐρύκων.
Σοῦ μὲν ἀειρομένοιο βιοσσόον ἆσθμα, κονίῃ
Καρπαλίμως μινύθουσιν ἐοικότα. καρπαλίμως δὲ
Ἆσθμα χαριζομένοιο βιοσσόον, ἔθνεα πολλὰ
Πετρεπάδην ἐπὶ γαῖαν ἀνέγρετο πουλυβοτείρην.
Ὡς ἔχοι. ἄλλην κτῆν τε δικασπόλος ἐργινίδησιν
Αἰνείτω, καὶ χεῖρας ἑῆς ἔργοισι γανύσθω.

Οὗ

Inde superfundens atram mortalibus umbram
Concubiam spargis sopita per arua quietem.
Tunc cruda linquunt laqueata, cupidine pastus,
Antra feræ: ventisq; leo pernicior, alta
Prosiliens sylua, desertis errat in aruis,
Et te mugitu poscit sua prandia rauco.
Pulchra simul noctis tenebras aurora fugarit;
Antra feræ repetunt: ærumnosisq; iuuencis
Et sparsis diuersa viris, rediere labores,
Vesper opaca rubens iterum dum lumina tollat.
Consilio regis hæc prudenti, atq; omnia seruas.
Nec modò terra tuas vireis, sed cærula stagna
Undisoni sensêre salis. tot millia pisces
Pectoribus trepidant repentibus, & caua circum
Texta ratis piceæ, tremulæ læto agmine caudæ
Nant: & in horrisono sexcentos æquore lusus
Cetorum exercet gens, uda per arua natantum.
Frugiferens quæ gignit humus, quæq; æquora ponti,
In te oculos referunt pro re, pater alme, suumq;
Te poscunt victum dextram si pandis, abundè
Exsaturantur opum: deinde exsaturata fatiscunt,
Largiferos à quoquam oculos si fortè retorques.
Vinificam indignans animam si tollis, adusti
Mox cineris ritu imminuunt: si denuo reddis
Viuificam indulgens animam, subito impete surgunt
Densa per altrices populorum examina terras.
Sic eat. assiduo cælestum carmine Iudex
Laudetur: manuumq; amet hæc monimenta suarum.

Οὔ ποτε παπταίνοντος ὅλη τ' ὠρχήσατο γαῖα,
Καὶ τρομερὴν θίγοντος ἀνήρευγεν ὄρεα λιγνύν.
Οὗτος ἐμοῦ ζῶντος καὶ ἐπὶ χθονὶ δερκομένοιο
Εὐκελάδοις μολπῇσιν ἀεὶ μεμελημένος εἴη,
Μούσῃ ὅγ' ἐυμμελέεσσι καὶ ἱλάοισιν ἀκουαῖς
Ἡμετέρης δέξαιτο βοὴν παλινάγρετον εὐχῆς,
(Τῷδε ὅλος ἔγκειμαι, τῷδε φρένα τέρπομαι οἴῳ)
Ἤδ' ἄρα δυσσεβέων γενεὴ προθέλυμνος ὄλοιτο,
Καὶ γαίης ἀφέλοιντο κακῶν ὑποφήτορες ἔργων.
Ἡμεῖς δ' εὐρυόεντος ἀτέρμονα ποιμένα κόσμου
Πρόφρονες αὐδήσαιμεν ἀεὶ κλείοντες ἀοιδῇς.

ΨΑΛΜΟΥ ΕΚΑΤΟΣΤΟΥ ΕΝΝΕΑ-
ΚΑΙΔΕΚΑΤΟΥ ΠΑΡΑΦΡΑΣΙΣ.

Ὅτε δυσμενῶν φάλαγγες
Ἐπικερτομοῦσι γλώσσαις,
Δακέθυμά μοι λέγουσαι,
Τότ' ἐγὼ θεὸν βοῶμαι,
Ὃς ἐμοῦ πρόφρων ἀκούει,
Ὃς ἐμοὶ πρόφρων βοηθεῖ.
Βιοτὴν ἐμὴν ἄπειργε,
Βιοτῆς ἄναξ ἄφελκε
Στομάτων βαρυπνεόντων,
Φιλοκερτόμων τε λαιμῶν.
Τί κακηγόρος σ' ὀνήσει
Φιλολοίδορός τε γλῶσσα,
Κρατερωτέρη μὲν ἰοῦ,

Μαλε-

Quo terrâ moles tota inspectante resultat:
Et montes tremulum eructant tangente vaporem.
Hic, mihi dum viuam, terrâ dum lumina figam,
Semper dulcisonis mihi decantabitur hymnis.
Ipse modò has voces, facili mitissimus aure,
Percipiátque precum non irrita verba mearum.
Totus in hunc incumbo, & mentem oblector in vno.
Sacrilegum pereat genus à radicibus imis,
Et scelerum vates toto impius exsulet orbe.
Nos autem vasti te Rex intermine mundi
Effari, & celebri te carmine ferre iuuabit.

PSALMI CXIX. PARAPHRASIS,

Eodem Interprete.

Inimica cùm cohors me
Lacerat dicace lingua,
Animúmque acerba mordet,
Ego tunc Deum voco: qui
Mihíque annuit benignus,
Mihi fértque opem benignus,
Mea vita, Rex, tegatur,
Mea vita vindicetur,
Grauiter-fremente ab ore,
Grauiter-procace fauce.
Maledicta quid iuuabunt,
Petulans libido linguæ?
Violentior sagitta,

Pene-

Μαλερωτέρη δὲ πυρσοῦ;
Αγαν, ὦ τάλας, συνοικῶ
Πολεμοτρόφοισιν ἐχθροῖς.
Στυγέω μάχην φιλοῦντας,
Φιλέω μάχην στυγοῦντας.
Μιαρῶντοι δὲ δοῦλες,
Φιλίην ὅταν λαλήσω,
Πολέμων, φόνων πνέουσι,
Προκαλούμενοί μ' ὀλέθρῳ.

ΨΑΛΜΟΥ ΕΚΑΤΟΣΤΟΥ ΕΙΚΟΣΤΟΥ ΟΓΔΟΟΥ ΠΑΡΑΦΡΑΣΙΣ.

Ναὶ μάκαρ ὅστις ἄνακτος ἐφαμοσιωδῶ ὁδὸν ἕρπει,
Δειμαίνει θ' ἅμα τῶον, ὑπερβασίας τ' ἀλεείνει.
Ω θνατῶν μακάριστε, τεὸν ἐπεὶ εἶδατα χειρῶν
Δαίσεαι. ὡς σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά,
Ως τὺ γυνὰ πολύτεκνος εὐφροσύνα θυμὸν ἰαίνοι,
Τέκνα δ' ἐλαιοφόροισιν ἐοικότα φυταλιαῖσιν
Ιλαδὸν ἀμφιχυθέντα τεὰν στέψει τράπεζαν.
Ος τρομέει βασιλῆα καὶ ἄφθονα τοῖα πεπόνθοι.
Τὶν δ' ὦ 'ναξ σιῶνος ἀπ' ὤρεος ὄλβον ὀπάσδων
Δωσεῖ πάντ' ἐπίμεσα κατὰ δρόμον εὔποδα ζωᾶς.
Οφρα κεν αὖθ' ἄλλοισαν ἴδῃς πόλιν Ιεροσολύμων,
Καὶ παῖδας παίδων ἐσορῇς, καὶ τοὺς Ισαακοῦ
Ειρήνᾳ χαίροντας, ἀγαλλομένως θ' ὁμονοίᾳ.

Penetrantiórque flamma.
Nimis, ah, misellus inter
Peregrina versor arma:
Ego Martis odi amicos,
Redamóque Martis hostes:
Scelerata sed virûm gens,
Memini simul quietis,
Crepat arma, sanguinémque
Nece me fera lacessens.

PSALMI CXXVIII. PARAPHRASIS,

Eodem Interprete.

FELIX, *diuinæ graditur qui tramite legis,*
Qui simul hunc timet, & contemnere iussa refugit.
Felix ante alios, manuum vescêre tuarum
Fercula. maturis vt vitis onusta racemis,
Sic tibi læta ferax hilarabit pectora coniunx.
Bacciferæ suboles tanquam plantaria oliuæ,
Circumfusa tuam cinget denso agmine mensam.
Qui Dominum timet, hæc ferat vbere præmia cornu.
Largus opum, è summa tibi Rex dabit arce Sionis
Omnia plena, & inoffensam decurrere vitam:
Mœnia vti florere bonis Solymeïa cernas,
Et natos videas natorum, atq; Isacidarum
Lætum pace genus, concordi fœdere ouantes.

ΕΙΣ ΦΡΑΓΚΙΣΚΟΝ ΜΟΣΧΟΝ

ΘΕΟΛΟΓΟΝ ΤΕ ΚΑΙ ΠΟΙΗΤΗΝ ΕΛΛΟΓΙΜΟΝ ΠΑΡΩΔΙΑ.

Αδύ τι χ᾽ ὡ μόσχος γαρύεται: σύνεπε μελώπις·
  Α᾽ σύριγξ μώσας περ ἂν ποκα σικελίδος.
Αδύ τι χ᾽ ὡ Μόσχος γαρύεται, αὐτὸς ἀοιδῶν,
  Χεύμασι παρ Σικελοῖς βωκολιασδόμενος.
Αδύ τι χ᾽ ὡ Μόσχος γαρύεται, ἄγγελος ἐσθλῶν·
  Ωρανίων, χ᾽ ὡμὲν ἶρις ἀκεσορίας.
Αδύ τι χ᾽ ὡ Μόσχος γαρύεται, Ατρεβατοῖσιν
  Εντίμων. κάρυξ πατρὸς ἐφαμοσυνᾶν.
Αδύ τι χ᾽ ὡ Μόσχος γαρύεται, Ατρεβατοῖσιν·
  Αιόλα μουσίσδων ἶσον ἀηδονίδι.
Ο῎λβιος οἰκοίης, μώσαις πεφιλαμένε Μόσχε,
  Νάματι ζειδώρῳ δίψαν ἀκειόμενος.
Ολβιος οἰκόιης, σοφίας ζαθέοισιν ἰάμνοις.
  Τοίαδε γαρύων, τοίαδε γαυριόων.

Τίνος δ᾽ ἂν τίνος δεοίμην;
Οτε παννέμων ὁ ποιμὴν·
Εμὲ, μῆλον ὥς, νομεύει,
Εμὲ δ᾽ ἐς νομὸν κομίζει,
Πολυήρατόν τε πηγὴν,
Αναπαύσεως δότειραν.
Εμὲ δ᾽ τρέπων ἀλήτην
Ανὰ θεσμερὴν ἀταρπὸν,

Quid ego, quid expetessam?
Ubi me, bidentis instar,
Alit ille pastor almus,
Ad amœna prata ducens,
Peramabilémque fontem
Requiete me leuantem.
Sed & in viam reducit
Pietatis euagantem,

Στε-

IN FRANCISCVM MOSCHVM
Theologum & Poëtam insignem Parodia.

DVLCE *canit Moschus: prædixit carmine quondam*
Fatidico Musæ fistula Sicelidos.
Dulce canit Moschus Siculas ad fluminis vndas
Flos vatum, agresti carmina læta sono.
Dulce canit Moschus felicis nuntius æui
Cælicolûm, medica clarus & ille manu.
Dulce canit Moschus, nunc finibus Atrebateis
Exponens summi iussa verenda Patris.
Dulce canit Moschus, nunc finibus Atrebateis
Æquiparans vario carmine lusciniam.
Perge diu felix, Musis dilecte iuuence,
Dulcis aqua viuo fonte leuare sitim.
Perge diu felix, Sophiæ sacra pascua tondens,
Talibus exultim ludere versiculis.

IDEM FRANCISCO MOSCHO
Interprete.

MIHI quid deesse possit?
Vbi pastor adsit almus?
Vt ouem fouere præsto, &
Viridi locare prato,
Peramabilique fonte,
Vbi sit quies cupita.
Reuocans procul vagantem,
Docet ire per sacratum

Στερεωτάτην ὁδοῖιν	*Solidiſsimúmque vitæ*
Βιότης ὁδὸν διδάσκει,	*Iter ingredi ſuadet:*
Αρετὴν ἵνα προφαίνῃ	*Bonitatis vt ſupremæ*
Αγαθήν τε καὶ γλυκεῖαν.	*Pateſiat inde numen.*
Οταν οὖν σκιὴν πατήσω	*Licet ergo vallis vmbram*
Θανατηφόρου χαράδρης,	*Peragrem tenebricoſæ,*
Τίνα δὴ τίνα τρομήσω	*Quid ego quid extimeſcam*
Παρέοντι σοι πεποιθώς;	*Mihi te fauente nixus?*
Εμὲ γὰρ παρηγοροῦσι	*Etenim tuum bacillum,*
Κορύνη τε καὶ ῥαπίς σή.	*Tua virga me tuetur.*
Παρέθης ἐμῇ τραπέζῃ	*Oneras ſubinde menſam*
Πολυμηχάνοις θαλείας,	*Dapibus laborioſis,*
Ινα δυσμενεῖς ἰδόντες	*Vt & hoſtis inuidendo*
Ατενεῖ φθόνῳ τακῶσι.	*Miſerè, miſer liqueſcat.*
Κεφαλὴν ἐμὴν ἔτεγξας	*Caput vnguinis tenello*
Απαλῷ μύρων ἐλαίῳ,	*Mihi perfricas oliuo,*
Φιάλην ἐμὴν ἔτευξας	*Paterámque geſtientem*
Γεγανυμένην λυαίῳ.	*Mihi ſufficis Lyæo.*
Εσαεὶ δὲ καὶ μεμηλὼς	*Ope quin tuæ leuatus*
Ελέει τεῷ προσηνεῖ,	*Placidæ benignitatis,*
Τὸ τεὸν μέλαθρον ἕξω	*Superas domos habebo*
Ετέων ὅλων ἀμοιβαῖς.	*Reuolúbiles in annos.*

Iter, haud morante greſſu,
Stabilemq́ue inire vitam:
Vt aperta ſit ſuauis
Et amabilis poteſtas.
Licet in tenebricoſa
Mihi pes vacillet vmbra,
Animus metu vacabit
Ope fretus inuocata.
Baculus mihi medelæ,
Tua virgaq́ue eſt ſaluti.
Epulis mihi parata eſt
Tua menſa plena lautis.
Id vbi vident maligni
Medij crepant veneno.
Caput hoc mihi irrigaſti
Pretioſiore myrrha,
Phialam mero fluentem
Mihi porrigis benignus.
Ego fretus hoc potente
Domino, colam beatus
Superi domos Olympi.
Vbi lux micat perennis.

ΤΟ ΑΥΤΟ.

Καὶ τί κεν ἱμείρῳμι; φερέσβιος αὐτ' ἐμὲ ποιμὴν
Ποιμαίνων ἅτε μῆλον, ἄγει ποτὶ πίονα χόρτον,
Καὶ νασμῷ χαρίεντι φίλην ἄμπαυσιν ὀπάζει.
Στερροτάτην μοι τῆλε παραπλαγχθέντι πορείης
Ἀτραπὸν ἀμφαίνει, καὶ ἀλώμενον ἔνθα καὶ ἔνθα
Οἶμον ἀμείψασθαί με παλινδρομέοντα βιάζει,
Ὄφρα κε μαλθακόθυμον ἐὴν ἀρετὴν ἀναφαίνῃ.
Οὐκ ἂν ἐγὼ βήσσης ὀλοφώιον ἄγχος ἱκάνων,
Οὐ πατέων σκιεροῖο λόχου μελανόπτερον ὄρφνην,
Δειμαίνω, ζαθέῃσι τεαῖς πομπῇσι πιθήσας.
Ἦ ῥάπις αὖθις με Θεοῦ, ῥόπαλόν τε κρατύνει.
Ἐκ σέθεν ἄμμι τράπεζα καλὸν βέβριθεν ἐδωδῇ,
Τὴν φθονερῶν ποθορῶσα μαραίνεται ἠρέμα λέσχη.
Κρᾶτα μύρου θυόεντος ἐμὸν μείλιξας ἐλαίῳ,
Αἴθοπι καχλάσοντα πορὼν κρητῆρα λυαίῳ.
Ἀλλὰ καὶ ἱλάοισι Θεοῦ πραπίδεσσι πεποιθὼς
Ζήσομαι ἄμβροτος αἰεὶ, ὑπέρτατα δώματα ναίων.

IDEM CAROLO IAMOTIO
Federici F. Interprete.

O PTARI *quid posse putem? cùm more bidentis*
Frugiferens me Pastor alat, cùm ad pinguia ducat
Pascua, cùm placidam grato det fonte quietem.
Erranti procul ille mihi de tramite recto
Pandit iter tutum, & longè lateq́; vagantem
Commutare viam, & cursus iterare relictos
Cogit, vt immensi pateat clementia Patris.
Non, si lethiferæ subeam discrimina vallis,
Aut peragrem densam nigræ caliginis vmbram,
Terrear, aspirante tuo mihi numine tutus.
Nempe Dei me virga regit, fulcitq́; bacillum.
Tu mensam dapibus cumulas: quas inuida turba
Dum spectat, lenta paulatim tabe liquescit.
Tu caput vnguenti mulces fragrantis oliuo:
Poculaq́; ardenti misces spumantia Baccho.
Quin & supremi nixus bonitate Parentis,
Sedibus in superis æterno perfruar æuo.

CAR-

AD FRANCISCVM
MOSCHVM.

Moschvs adest, nobis reducem sors prospera sistit,
Qui procul ingratam pellat amaritiem,
Spinosásq; graui deducat pectore curas,
Queis externatur saucia mens animi.
Irrita non leuibus liquit promissa procellis,
Sed mihi vel largo munere dissoluit.
Nota fides, & firma viri constantia, notum
Ingenium rerum cognitione sagax:
Notus & hiberno torrentior eloquij fons
Flumine, qui præceps feruido ab ore ruit,

* *Seu*

ΕΙΔΟΣ ΠΙΝΔΑΡΙΚΟΝ

Στροφὴ α. κώλων ια.

ΙΣΤΩ σαφανὲς ἀστραβῆ
Πυργὸν ἀνδρῶν, ὀρθοβούλοις
Ἐλπίσιν εἴ τις ὑποστάσει Θεὸν
Κίονα δαιμονίαν. εἰ
Χαλκόγλυφου σφετέρων δόμων ἐρείσεις
Ἄγκυραν χειᾷ μέδοντος
Ὑψιτίμου, κυμάτεσσι
Θαρσέων ἀλύξοει
Λάβροις, ἀκίνδυνόντε Θεῷ πίσυνος
Αἰῶνα πέσσων, ἀντίτεινε
Παμφόρων ῥιπαῖσιν αὐρᾶν.

Ἀντι-

Seu lubeat spissæ moderari frena coronæ,
Seu dulces fœtus promere Castalidum.
His ego nominibus magnum & memorabile nomen
Mosche tuum faxo Musa loquatur anus:
Et prius ætherij Solis nitor obscuretur,
Cedantq́ extinctis sidera luminibus,
Gurgite quàm lethæo & cæca nocte tegatur
Hoc studium, quo me quóque meos iueris.
Interea placido nostri memor accipe vultu
Hæc expressa mihi carmina Jessiadæ.

CARMEN PINDARICVM.

Strophe 1. Colon 11.

INTERPRETATIO

VERBORVM.	SENTENT.
SCIAT *certò se firmam turrim nactum esse, si quis spei recta consulenti Deum subiecerit, diuinam columnam. Si tuarum ædium anchoram ferreas malas habentem firmabis super vmbram Regis honore cōspicui, audacter obsiste fluctibus rapidis, Deóq; fretus securū æuum coquendo, oppone te impetui ventorum omnia rapientium.*	SI quis est, qui omnes suas cogitationes & spes in misericordia Dei collocat, sciat is se suis rebus firmissimum præsidium quæsiuisse. Quisquis es, qui sincerè & ex animo te bonitati & clementiæ Dei credidisti, te periculis animosè & fortiter oppone, Deíque fauore tutus, placidà & tranquilla mente consiste, & violentos conatus hostiū animo forti & inuicto refuta.

Αντιστροφὴ κῶλ. ια.

Δεινῶν γὰρ ἐκ κυναγετᾶν,
Δικτυῶν δόλῳ πεδᾶσαι,
Καὶ σκοτεινὰ φυτεύειν ἐκ λόχου
Μαιομένων θάνατον, λύ-
σει μάκαρ, ὀλομένων χερῶν ὄλεθρον
Πρὸς τεᾶς ψυχᾶς ἀμύνων,
Καὶ τανυπτέρυγις ἐρέψει
Ασκίων ὤμων πτυχαῖς,
Ανδρῶν ἐπόπτας, ἀμβροσίαν πτερύγων
Υπὸ σκιᾷ βραχεῖα πάμπαν
Ασφαλὲς. κρύψει δ᾽, ἐρρᾶς

2

Επωδὸς κῶλ. ια.

Ως ἀσπὶς ὀμφαλόεσσας,
Εμπέδων μύθων καλύπτρα.
Ουτε φόβου νέφος ἐν δυσμαῖσιν αὐγᾶν
Σοι κεκινδυνευμένον
Πλάξει φρένας, οὔτε ποτανὸν
Εξ ἀνικάτου βέλος
Πτάξεις φαρέτρας ὀρνύμενον σὺν ῥαβά-
γῳ φλογεραῖς ἐν ἀμέραις,
Ου μὰν δολόεντος ἀτέκμαρτον λύαν
Εν κελαινώπει βρότεον δέμας ἀ-
προϊδῆ τύψασαν ὄρφνᾳ.

VERB. | SENT.

Antistrophe. | *Colon* 11.

Te enim liberabit Deus grauibus venatoribus, qui quærunt te laqueorum dolo irretire, et tenebrosam mortem ex insidiis machinari, perniciem manuũ funestarum à tua vita propulsans; tegetq́, hominũ præses plicis scapularum vmbrosarũ extensas alas habentibus [te] sub vmbra diuinarum alarum intuentem prorsus securitatem. Quinetiam abscondet,

NAM Deus te incolumem conseruabit ab omnibus insidiis inimicorum, & à quouis maximo & manifesto exitio, teque suis pennis fouebit & securum reddet ab omni discrimine, suaque constantia ac fide tanquam

Epodus. | *Colon* 11.

vt validi scuti vmbilicosi firmi sermonis tegmine. Neq, timoris nubes in occasu radiorũ [solis] à te periculosè tentata concutiet animũ. Neq, expauesces volucre telũ ex inuicta pharetra prodiens cũ stridore, per diem flammeum: non sanè improuisam luem dolosi [hominis] ex improuiso percutientem mortale corpus nocte tenebricosa.

scuto firmissimo proteget. Non tu nocte cæca & obscura pericula, non luce aperta tela hostium pertimesces. Neque verò occultas insidias fraudulentorum hominum reformidabis, inermem te atque imparatum nocte intempesta repente gladiis adorientium,

Στροφὴ β, κῶλ. ια.

Μεσαμβρινὸν δ' ξυμφορῶν
Μηκέτι ῥίγει βιαίαν
Καὶ δαμασίμβροτον. ἀνδρῶν χιλίοις
Ἐν νεκύεσσι καμόντων
Τουτάκις ἀμφοτέρας ἰὼν χερὸς, πο-
Λυφθόρου νήπαινος ἄτας
Ὄψεαι ποινὴν λαχόντας
Ἐργμάτων ἀτασθάλους,
Ἀρχῷ πεποιθὼς ὀρσινεφεῖ, σφετέρων
Αὐτὸν πθεὶς οἴκων ἔρεισμα,
Καὶ τυχὴν εὔδματον ἔρκος.

Ἀντιστροφὴ κῶλ. ια.

Ψυχὴν ἄτρωτος ἔσσεαι,
Οὔτ' ἀκερδέη λελόγχη
Δῶμα περόφυτον. ἑοῖς ἔντειλε γὰρ
Ἄφθιτος ἀγγελιώταις,
Ἐν φυλακῇ σχεθέμεν τεὰς ἀταρπούς,
Καὶ σὲ χερσὶ βαστάσαι, μὴ
Τὴν ποδῶν αἴγλαν ἀμύξῃς
Προσκοπῶν τραχεῖ λίθῳ.
Αἰνὴν πέσσεις ἀσπίδα ποσσί, ποσσὶ
Λύσσαν δρακόντων, καὶ λέοντας
Ἀγρίους φλάσεις ἀπήμων.

Strophe 2.

NEQVE tu horrescas meridianam perniciem violentam & mortalium domitricem. Tunc ab vtraque manu incedens inter cæsorũ hominum mille cadauera, damni admodum perniciosi expers, videbis sceleratos facinorum præmia consecutos, Duce fretus nubiũ excitatore, cõstituens eũ columẽ domus tuæ, & facultatum munimentũ bene structum.

Colon 11.

NEQVE morbos & mala omnia, quæ medio die nobis ab improbis hominibus impor tãtur. Mille enim ad læuam, & mille ad dexteram morientibus, tu saluus & incolumis animo quieto & securo spectabis impios pœnas maleficiorum expendentes. Hoc autem tibi continget, propterea quod te tuaq́. omnia diuinæ fidei ac tutelæ commisisti.

Antistrophe.

Inuulnerabilis eris vita, neq; damnum comitabitur conspicuam domũ [tuam.] Nam Immortalis suis Angelis mandauit, vt diligẽter caueant tuis semitis, & te manibus gestent, ne decus pedum laceres, offendens ad asperũ lapidẽ. Horrendam aspidẽ premes pedibus, pedibus rabiẽ draconũ, & feros leones collides sine noxa.

Colon 11.

Proinde neque tu, neque domus tua quicquã detrimenti capiet. Deus enim Angelos suos præficiet custodiæ tuæ salutis, qui inoffensos dirigãt pedes tuos, & te manibus ferant, ne pedem lapidi illidas atque impingas. Venenatam aspidem premes calcibus, rabidosq́ue dracones, & immanes atq. tetros leones proteres & conculcabis, nullam vim aduersus te habituros.

Ως εἶπεν ὤναξ, ἐμὲ πάντων
Ἐξόχως τιμᾷ, φιλεῖ δὲ
Καὶ περίαλλα σέβας. τῷ καρτερῶν οἱ
Πενθέων ἔσαι λύσις.
Κεῖνον γὰρ ἐγὼ παραλύσω
Δυσφρόνων, εὐαλθέσι
Τιμαῖς ἀέξων, καὶ ἀπόμενος θαμεραῖς
Ἀνδρὸς ἐφελμαῖς, νώδυνον
Θάσω κάματον, καμάτου ξυνοῦ μετα-
λαμβάνων, δώσω τε βίου χρόνιον
Πέρας, ἄλληκτόν τε μάχος.

Epodus.

Sic dixit Rex, me eximiè inter omnes honorat, & meum numen impensè diligit. Itaq; durorũ luctuum ei finis erit: illum enim tristibus curis liberabo, floridis honoribus ornans, & sanctas viri preces secutus, laborem efficiam doloris expertem, communis laboris particeps, daboq; vitæ diuturnum terminum, et æternam consolationem.

Colon 11.

Nimirum ait Dominus, Quandoquidem sanctissimum numen meum diligit, & quanta maxima potest pietate veneratur, tristem & acerbum eius luctũ finiam, eumq́. sollicitudine magna liberabo, amplissimis honoribus augens atque ornans & clamore inuocantis audito, exhauriam illi vniuersum dolorem, omnium discriminum & periculorum fidissimus comes, eiq́ue vitam donabo immortalem.

IDYLLIA.

IDYLLIVM DE NATIVITATE DOMINI.

Ad illustrem & generosum virum Carolum Huchinum, Longastrij, Morij, Anezini, &c. potentem.

FLos equitum, flos alme virûm qui stemmate fulgent,
Carole, Pierij gloria rara gregis:
Quem iuuat herbarum varios cognoscere cultus,
Mille iuuat formas, mille notare modos.
Dum vacat, & stirpes glaciali compede vinctas
Ignaua horrenti bruma coërcet humo;
Perlege quæ lusi, Siculæ telluris alumnum
Dum sequor, agresti carmina clausa pede.
Carmina quæ recinunt puerum, felicibus orbis
Auspiciis, casta virgine matre satum.
Carmina missa tibi, qui carmina quique poëtas
Diligis, & celebri carmine digna facis.
Paruula sunt, fateor: sed inest sua gratia paruis:
Vnio sic magnas paruulus æquat opes.

Μαλοβόται δραστῆρες ἐΰφρονα κέκλυτε μολπὴν
  Γηοκόρῳ μελέτας ἀδύπι μᾶχος ἔη.
Ηνίδε σάμερον ἐς φάος ἤλυθε κεδνὸς ὁ ποιμὴν
  Τηνῶος, ἀπὸ σπλάγχνων ματρὸς ἀριστογόνω,
Ματρὸς ἀριστογόνω, τὴν ἅλικες ἔδρακον ὧραι
  Παρθένον αἰδοίαν, παρθένον ἀθανάταν.
Ὠράνιόν γε θάημα. παῖς μόλεν, ὄφρα σαώσῃ
  Βουπελατῶν τε γένος, καλλικερῶς τε βόας,
Μᾶλα τε, καὶ εἰροπόκων ἄγχιστον ὀπάονα μάλων,
  Καὶ χρυσὴν γενεὴν ἐκ λεχέων ἀνάγῃ,
Οφρα διαστείχοντες ἀτειρέος ὕστερον ὄλβω,
  Νόσφιν ἄτερ γε κακῶν, νόσφιν ἄτερ τε μαχῶν,
Ωρανίδαν τὸν πᾶνα σεβίσομες ἔμφρονι θυμῷ,
  Μέσφ' ἐπὶ παγκάρπω τῆς χθονὸς ἐσχατιῆς.
Α, τε δίκα πολίων βάθρον ἀσφαλὲς, ἅ, τε πάρεδρος
  Ειράνα, θνατῶν κειρανέοισι χορῶς.
Ου νέμεσις διχόβουλος ἐπέσσεται, οὐ φθόνος ἄτα
  Δύσφρονι μαστίσδων βάσκανον αἰνοβίαν,
Ουτε φρενῶν ταραχαὶ θυμαλγέες, οὔτε κακοῦργον
  Νεῖκος, ἐρικλαγκτῶν οὐ νιφάδες πολέμων.
Εσλὸς ἐπεὶ ποιμὴν καὶ τραχέα ῥόμβον ἀκόντων
  Ρήξει, καὶ λογχῶν ἶνας ἀιμαιμακέτων.
Υννος ἀκνάμπτω μεταμείψεται οὔλιον αἰχμὴν,
  Καρποφόρω γαίας νῶτον ἀρασσέμεναι.
Καὶ βαρὺν ἐς πελέκεις μεταθήσεται ἀμφιτομεῦντας
  Χαλκὸν, ὃς αἰχματῶν ἦν ξίφος ὀλλυμένων.

PASTORES *auidam lætis date cantibus aurem,*
Acribus hinc curis dulce leuamen erit.
Ecce hodie summum Pastorem lucis in oras
Protulit ex aluo prole beata parens,
(Prole beata parens æquæui temporis annis
Virgo pudica fuit, virgo perennè manet)
Miratur cœlum puerum venisse, bubulcos
Seruet vt agrestes, cornigerumq́; pecus;
Lanigeras vt seruet oues, ouiumq́; magistros:
Detrahat & pigris aurea secla thoris.
Vt liceat posthac cura belloq́; solutis
Immota nobis prosperitate frui:
Panáque cælicolam lætanti mente colamus
Omniferi extremos orbis adusq́; sinus.
Iustitia humanos cœtus quæ fulcit, & vrbes,
Et pax iustitiæ proxima sede, regent.
Non discors aderit nemesis, non inuida tabes,
Quæ flagro damni liuida corda domat:
Nec motus animorum acres, nec iurgia diræ.
Non streperæ nubes horrida militiæ.
Namq́; bonus pastor rigidi cum turbine teli
Proteret inuicta spicula missa manu.
Vomere lethalem sicam mutabit obunco,
Qui patulum terræ fertilis æquor aret.
Æraq́; in ancipitem vertet funesta securim,
Quæ modò fatiferi militis ensis erant.

Νῦν δὲ λύκοιτε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχοντι,
Μηκέτι δ' ἀλλάλοις λυγρὰ νοεῦντι βροτοί.
Μαλθαξεῖ βασιλῆος ἀμειύτερα θυμὸν ὀλύμπω,
Πατρί τε χωσαμένῳ μῶνος ὑπαντιάσει.
Νήϊδας ἀνθρώπως ἀλιτήμονες ἔυνασαν ὄρφναι
Κυκλοφόρων ἐτέων τέτρασι χιλιάσιν,
Ἃ δὲ θοαῖς ἀκτῖσι σελάσδεται ἀμβροσία νύξ,
Ἀνδράσιν εὐθείας ἐμφανίσασα τρίβως.
Ἴομες ἐν ἐνὶ πάντες ἀτέρμονα ποιμένα πάντων
Ἐκγεγαῶτα κόρας κάρον ἐποψόμενοι.
Ἦνθον σκαπτοῦχοι καὶ ποιμένες, ἄγεται ἰῶνθον,
Ἦνθε κυβερναλλῶν ἐσμὸς ἐρωτινέων,
Παῖδα θεάνθρωπον ζαθέω πατρὸς ὄφρα σέβωνται.
Σπεύδετε νῦν, ὦ φίλοι, σπεύδετε πολυσπερέες.
Δῶρον ἔη τί κε παιδὸς ἐπάξιον; οὔπκεν ἀμνός,
Οὐ γλάγος, οὐ πόπανον. θνατὰ βροτοῖσι πρέπει.
Οἴσομες ἀχράντῳ κεκαθαρμένον ἦτορ ἄνακτι,
Οἴσομες ἀφθάρτῳ θυμὸν ἀδόντα δίκα.

ΚΑΡΟ-

Jam benè conuenient, animus agníque lupíq;
Nec mala vicino qui meditetur, erit.
Solus hic vltrices mulcebit numinis iras,
Solus & auersum leniet ipse patrem.
Annos mille quater tenebris inuoluerat atris
Incautos homines deuius error agens.
Ignibus at rapidis nox hæc diuina coruscans,
Impauidum recto tramite pandit iter.
Eia agite vnanimes moderantem cuncta puellum
Visamus, tenera virgine matre satum.
Sceptrigeri venere duces, venere tyranni,
Turbáque commißis nobilis imperiis,
Patre Deo natum vt colerent hominémque Deúmque:
Ferte citi comites, vndique ferte gradum.
Sed puero quæ digna damus? non liba, nec agnum,
Non lac, mortalem dona caduca decent:
Innocuum puro donemus pectore Regem,
Donemúsque animo, qui sacra iura colat.

 CARO-

ΚΑΡΟΛΟΥ ΙΑΜΩΤΙΟΥ ΤΟΥ ΦΕΔΕΡΙΚΟΥ ΠΕΡΙ ΘΕΟΓΟΝΙΑΣ

ΕΙΔΥΛΛΙΟΝ.

Οὐράνιον τί θάημα τανῦν ἐμὲ θυμὸν ἄτυξε;
  Ποῖον γὰρ ἡμετέρης ἥψατο χάρμα φρενός;
Ἦρ' οὐ ψῆρε χρόνος, βασιλεὺς ὅταν αἰθέρι ναίων
  Ἀρρήκτου φυλακῆς θνητὸν ἀφεῖλξε γένος;
Ἡνίκα παμμεδέων καταδύμενος ὑψόθε χειρός
  Τῶν κηριτρεφέων ἕσσατο σῶμα βροτῶν,
Φεύγετε νῦν μόχθοι καὶ γυιοκόροι μελεδῶνες,
  Φεύγετε καὶ κραδίης ἄλγεα, καὶ στοναχαί.
Ὧδ' ἴτε ὦ γήθη μελιήδεα; ὧδ' ἴτε μολπαί,
  Ὧδ' ἴτε μουσάων θελξίνοοι μελέται.
Νυκτὸς ἀείδουσαι θεοειδέος ἀγλαὸν εὖχος
  Ἠελίου παίδων πουλὺ φαεινοτέρης,
Νυκτὸς ἐφ' ᾗ καὶ παρθενικὴ τὸν ποιμένα κόσμου
  Παντὸς, ἀειγλυέτην τέξατο κυσαμένη.
Ταύτην οἱ πρότεροι πολύολβον νύκτα ποθεῦντες
  Οὐκ ἴδον, αὐτὰρ ἐὴν ἄμμι μόνον φανερή.
Ἀστὴρ πικτομένοιο μάγοις φράσε σπάργανα παιδός,
  Ἄγγελος ἀγραύλοις ἔφρασε μηλοβόταις.
Ἤλυθεν ἀρχαίου μαιδύμαλος ἐς τέλος ὀμφή,
  Ἥτις Ἰουδαίας σκῆπτρον ἀφεῖλε χερός.
Ἄλλος ἐμαιώθη βασιλεύς, ἄλλος τε προφήτης,
  Ἄλλος ὁ μειλίσσων τὸν θεὸν ἀρχιερεύς.
Ὦ νὺξ ἀμβροσίη. Σὲ δ' ἐς ὕστερον αἰὲν ἀείσω,
  Εἴτε μὲν εὐτυχέων, εἴτε δὲ δυστυχέων.

ΧΡΙΣ-

CAROLI IAMOTII FEDERICI F.
DE NATIVITATE CHRISTI
Edyllion.

QVÆ mihi percellunt animum miracula cæli?
Quæ tangunt mentem gaudia læta meam?
An non tempus adest summi cùm rector Olympi
Eduxit valido carcere terrigenas?
Cùm Deus astra tenens cælo demissus ab alto,
Induitur morti debita membra hominum.
Mordaces fugite hinc curæ ingratiq; labores,
Et dolor hinc fugiat pectoris, & gemitus.
Huc ô lætitiæ dulces, huc tendite cantus,
Huc animis lenes Pieridúmq; modi.
Magnificas noctis diuinæ dicite laudes:
(Sole sata lucet clarius illa die)
Noctis, qua prægnans in lucem protulit orbis
Pastorem æternum virgo simulq; parens:
Sed neq; felicem hanc noctem videre priores
Cùm cuperent, nobis quæ manifesta fuit.
Stella magos docuit pueri cunabula nati:
Pastores docuit nuntius agricolas.
Venere augurij veteris fatalia verba,
Sceptrum è Iudæa quæ rapuere manu.
Nunc alter natus Rex est, altérq; Propheta:
Quiq; Deum placet, præsulis alter honos.
Nox ô dia meo semper celebraberę cantu,
Seu mihi sors fuerit prospera, siue grauis.

CHRI-

ΧΡΙΣΤΟΥ ΑΝΑΣΤΑΣΙΣ.

ΠΡΟΣ ΙΩΑΝΝΗΝ ΣΙΛΒΙΟΝ, ΝΟΜΙΚΟΝ ΤΕ
καὶ ποιητὴν σοφώτατον,

ΕΙΔΟΣ ΠΙΝΔΑΡΙΚΟΝ.

Στροφὴ κώλων θ.

Ποικιλογάρυες ὕμνοι, μοισέων
Καλλιπλοκάμων ταμίαι
Οἶκον ποτινισσόμενοι, ἡμάορον
Ταῦταν φέρετ' ἀγλαΐαν, δρό-
σῳ τε ῥανθεῖσαι μαλακᾷ γλυκερὸν
νίκας ἄωτον,
Τὰν βαρυγδούπου κρέοντος
Ὑψινεφὴς γλυκεὰ σωτὴρ ἔλεν,
Μνᾶμα πάντων τῶν πρὸ τοῦ κάλλιστον ἄθλων.

Ἀντιστροφὴ κώλων θ.

Τυμβιδίων γὰρ ἀδειμάντῳ κράτει
Κευθμῶνα λιπὼν σκιερὸν
Ἄντρων, ἀβάταν πρότερον θνατοῖς κλυτὰν
Νικαφορίας ὁδὸν ἦλθε
Δεσπότας, καὶ θεσπεσίῳ παλάμᾳ
Δύστανον ἀνδρῶν
Ἔθνος ἀρχαίου δράκοντος
Καρπαλιμῶν γενύων ἐξείλετο,
Δαΐων στερρὰν βίαν ἔργῳ δαμάζων.

Ἐπῳδὸς

CHRISTI RESVRRECTIO,

AD IOANNEM SILVIVM IVRIS-consultum & Poëtam doctissimum.

CARMEN PINDARICVM.

Strophe Colon 9.

VARIÈ *sonantes hymni Musarum pulchris capillis spectandarum custodem [Musis ornatam & illustrem] domum adeuntes, ferte hunc eximium splendorem, dulcémque florem victoriæ rore molli irrigatæ [hanc insignem victoriam suaui carmine decantatam] quam grauiter sonantis Regis in altis nubibus habitans proles seruator [Christus] reportauit: monimentum pulcherrimum priorum omnium certaminum.*

Antistrophe. Colon 9.

Sepulchralis enim antri linquens intrepido robore cauitatem opacam, inaccessam antea mortalibus inclytam victoriæ viam ingressus est Dominus, manúque potenti miserum mortalium genus ex veteris draconis rapacibus malis eripuit, hostium fortem vim virtute domans.

Θαῦμα παμφώνοις ἀμοκλαῖς
Ἀδύ τι γαρυέμεν.
Ἄμμες αὖ μοισᾶον ἐλᾶν πεδόθεν
Νικαφόρον ὁρμώμενοι
Δίφρον, ἀγαυόρα Δίρκας
Αἰετὸν ὑψιπέταν ἰχνεύομεν.
Ἀλλά τυ τὰν χαρίτων εἰδὼς νέμεσιν
Κᾶπον ἀδόμενον,
Εὐμενεῖ ψυχᾷ χάριν δέξαι ταπεινάν.

ΧΡΙΣΤΟΥ ΑΝΑΣΤΑΣΙΣ.

Ὦναξ ἀνθρώπων νοερὸν φάος, αἰθέρος αὐλῆς,
Κόσμου τ' εὐρυόεντος ἔχων βασιλήϊον ἀρχήν,
Σὸν κλέος ἀείδω, καὶ ἐγέρσιμον ἀγλαΐην,
Καὶ νέκυν οὐ μείναντα λιθώδεος ἔνδοθι τύμβου.
Ἀλλά μοι εὐμύθων ἔλθοις οἰκτίρμονι βουλῇ.
Πέμπε δ' ἐπὶ πραπίδεσσιν ἐμαῖς πανυπέρτατον αἴγλην,
Αἴγλην παμφανόωσαν, ἐγερσιόοιο προνοίης,
Αἴγλην παμφανόωσαν ἐμῆς ἐπαρωγὸν ἀοιδῆς.
Ὄφρα σε, παμμεδέοντος ἀειζώοιο γενέθλην,
Χριστὸν ἀειζώοντα βροτοῖς ἀγανοῖσιν ἐνίσπω,
Ἂψ ἀπονοστήσαντα φιλοθρήνοιο βερέθρου.
Ἤδη μὲν πολίτεσσιν Ἰουδαίοισι μεμηλὼς
Θέσκελος ἀπρήκτοιο παριπτεύσας δρόμος ἠοῦς
Ἑβδομάτης τετέλεστο. φιλοστόργῳ δὲ μὲν αὐτῇ

Μαγδα-

Miraculum sanè omnisono [carminum] murmure celebrare suaue. Nos igitur Musarum currum victoriæ reportatorem altius à terra agitare aggressi [longè nos ab humo tollentès, grandia & sublimia canere] generosam Dirces Aquilam altiuolantem sequimur [Pindarum poëtam Thebanum scilicet, qui verba grandia loquitur, & instar aquilæ sublimis, & longissimè remotus à terra, volat.] At tu, qui nosti Gratiarum hortum celebrem decerpere [qui Gratiarum fauore frueris, & poëta es] beneuolo animo hoc munusculum suscipe.

CHRISTI RESVRRECTIO,

Andrea Hoio Brugensi Interprete.

REX *hominum, puræ lucis iubar, ætheris alti*
Et vasti qui sceptra tenes regalia mundi,
Pango tibi sacrum rediuiuæ lucis honorem,
Nec pote marmorea retineri funus in vrna:
Ergo ades huc, dexterq́; veni mihi mente benigna.
Da mea supremum delabi in pectora lumen,
Lumen vbiq;-nitens, agitat quæ corda, pronæ,
Lumen vbiq;-nitens, mea quod benè prosperet orsa.
Vt semper viuente satam te principe prolem,
Christum immortalem placidis mortalibus edam.
Funerea reducem mæsti de fauce sepulchri.
Jam nunc solemni Judææ gentis honore
Sacra, exsorsq́; operum, quasi equis prouecta, ruebat
Septima lux præceps; quum cura amor anxius vrget

 Magda-

Μαγδαληνὴ Μαρίη φιλοδάκρυος, ἠδὲ Σαλώμη,
Καὶ Μαρίη περίπυστος Ἰακώβοιο τεκοῦσα,
Ἀμβροσίην πριάσαντο μύρου θυόεντος ἐέρσην,
Ὄρθριον ὄφρα μολοῦσαι ἀελλήεντι πεδίλῳ,
